4 τὰς ὁδούς σου, κύριε, γνώρισόν μοι
καὶ τὰς τρίβους σου δίδαξόν με.
5 ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου
καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ θεὸς ὁ σωτήρ μου,
καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν.
6 μνήσθητι τῶν οἰκτιρμῶν σου, κύριε,
καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν.
7 ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς·
κατὰ τὸ ἔλεός σου μνήσθητί μου σὺ
ἕνεκα τῆς χρηστότητός σου, κύριε.
8 χρηστὸς καὶ εὐθὴς ὁ κύριος·
διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ.
9 ὁδηγήσει πραεῖς ἐν κρίσει,
διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.
10 πᾶσαι αἱ ὁδοὶ κυρίου ἔλεος καὶ ἀλήθεια
τοῖς ἐκζητοῦσιν τὴν διαθήκην αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ.
11 ἕνεκα τοῦ ὀνόματός σου, κύριε,
καὶ ἱλάσῃ τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστιν.
12 τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον;
νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο.
13 ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται,
καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν.
14 κραταίωμα κύριος τῶν φοβουμένων αὐτόν,
[καὶ τὸ ὄνομα κυρίου τῶν φοβουμένων αὐτόν,]
καὶ ἡ διαθήκη αὐτοῦ τοῦ δηλῶσαι αὐτοῖς.
15 οἱ ὀφθαλμοί μου διὰ παντὸς πρὸς τὸν κύριον,
ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.
16 ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με,
ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ.
17 αἱ θλίψεις τῆς καρδίας μου ἐπλατύνθησαν·
ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με.
18 ἰδὲ τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου
καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου.
19 ἰδὲ τοὺς ἐχθρούς μου, ὅτι ἐπληθύνθησαν
καὶ μῖσος ἄδικον ἐμίσησάν με.
20 φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με·
μὴ καταισχυνθείην, ὅτι ἤλπισα ἐπὶ σέ.
21 ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι,

$5^1$ εν τη αληθεια(A† -αν) SA || $6^1$ κυριε > B || $7^1$ αγνοιας] pr. τας B*(uid.)S | μου $2^0$ > BS | $7^2$ συ U] > BSA || $9^2$ > B† || $14^2$ > S | φοβουμ.] επικαλουμ. A || $17^1$ επλατυνθησαν U] επληθυνθ. BSA: ex $19^1$, ubi U per errorem επλατυνθ.